ἀνθρωπίνῳ σώματι εὑρήσεις, ὑποχωρούσας τὴν ὑ-
περοχὴν ἁπάσας τῷ κρείττονι. κεφάλαιον γάρ ἐστιν
ἁπασῶν τῶν ἐν τοῖς ἀλόγοις ζώοις τελειοτήτων τὸ
λογικὸν ὄργανον. ἵνα δὲ τοῦτο σαφέστερον γένηται,
φέρε δὴ τὸ φωνητικὸν καὶ ὀργανικὸν, καὶ φανταστικὸν
πνεῦμα τῶν ἄλλων ζώων πρὸς τὸ ἀνθρώπινον προ-
σεπάσωμεν.

Τοῦ ἀέρος πληττομένου ὑπὸ ξηροῦ ἦχος ἀποτελεῖ-
ται. τοῦ δὲ ἤχου εἶδος καὶ ἡ φωνὴ τῶν ζώων. ἕκαστον
δὲ τῶν ζώων ἰδίαν φωνὴν ἔχει, ὅσα δηλονότι πνεύ-
μονα ἔχει, γνωριστικὴν καὶ ἀνακλητικὴν τῶν ὁμοφύ-
λων, καὶ τῶν αὐτοῦ παθῶν ἐκφαντικήν. τοσαῦται ἄ-
ρα αἱ φωναὶ τῶν ζώων, ὅσα καὶ τὰ εἴδη τῶν φωνούν-
των. ἀλλ' ἕκαστον αὐτῶν μίαν ἔχει φωνὴν, καὶ τὴν τοῦ
ἑτέρου εἴδους, πλὴν τινῶν καὶ τούτων πάνυ ὀλίγων, οὐκ
ἂν μιμήσαιτο. ἄνθρωπος δὲ φωνὰς ἁπάσας τῶν ζώων,
καὶ ἀψύχων ἤχους, οἷος μιμεῖσθαι πέφυκε. καὶ τὸ
πλεῖον ἐκ συνθήκης τοσαύτας τεχνητευσάμενος ἀνὰ
πᾶν ἔθνος, ἐπλεόνασε τῇ φύσει, τοσαύτας ἐξευρὼν,
καὶ πολυπλασιάσας κατ' ἔθνος, καὶ χώρας, πολυφω-
νότατος χρηματίσας. ἐν τοσαύτῃ οὖν εὐφωνίᾳ τῶν φω-
νητικῶν ὀργάνων, καὶ λεπτότητι καὶ ὀξύτητι τοῦ φωνητι-
κοῦ ὀργανικοῦ πνεύματος, οὐχ ἑνὸς ἢ δύο τῶν εἰδῶν τοῦ
ζώου, ἀλλὰ πάντων ἅμα ὑπερέχει ὁ ἄνθρωπος. ἀλ-
λ' ἀπ' αὐτῶν τῶν φωνῶν δηλονότι προϊών τις ἐπὶ τὸ
φανταστικὸν πνεῦμα θαυμάσειε μᾶλλον, τὴν ἀντίλη-
ψιν, τὴν διάκρισιν, τὴν ποικιλίαν, τὴν κατοχὴν,
τὴν λεπτότητα, τὴν εὐκινησίαν, τὸ τάχος, ὧν φέρει

ἰανα-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ανατυπώσεων, καὶ ἐπὶ τὰ ἔργα συγκινεῖ, καὶ σχηματίζει. οὐ μόνον γὰρ τὰς ἐκ φύσεως ἀλλοιώσεις καὶ διατυπώσεις στέγει καὶ δέχεται, ἀλλὰ καὶ τὰς ἐκ συνηθείας προσλήψεις προσλαμβάνει καὶ διατηρεῖ, καὶ συγκινεῖ κατὰ σκοπὸν τάχιστα. τὸ γὰρ ἔργον τῶν αἰσθήσεων θαυμαστὸν, ἀλλ' ἐν τοῖς ἀλόγοις τῶν ζώων ὀλίγον, πρὸς διάρκειαν καὶ συντήρησιν τοῦ εἶναι, εἴτ' οὖν ἰδίαν ζωὴν καὶ γένεσιν τοῦ ὁμοίου ὁριστόν. τοῦ δὲ ἀνθρώπου αἱ αἰσθήσεις ἀδρότεραι. καὶ αἱ φαντασίαι πολλαπλασίονες, καὶ μνῆμαι καὶ τέχναι, καὶ ποικίλαι ἐφευρέσεις, καὶ πρὸς πάντα ὑπουργεῖ ἄριστα καὶ τάχιστα τὸ ἐν αὐτῷ φανταστικὸν πνεῦμα. οὐκ ἐκ τούτων γοῦν καταφανὴς ἡ ὑπὲρ πάντα τὰ σώματα τῶν ἀλόγων ζώων ὑπεροχὴ καὶ ἐξαίρεσις τοῦ ἀνθρωπίνου σώματος; κατὰ ταῦτα δὴ καὶ εἴτι ἄλλο τῶν μελῶν, ἢ ὀργάνων συμπαραβαλών τις πρὸς μέλος ὁμόστιχον ἑτέρων ζώων, καὶ συγκρίνας, εὕροι ἂν κρεῖττον ἀσυγκρίτῳ λόγῳ τελεωτέρας φύσεως κατανοήσας. τῶν γὰρ ἄλλων ζώων ὥρισται τὰ ἔργα. διὸ καὶ τὰ σώματα πρὸς τὰ ἔργα ἀφώρισται ἐν ὀλίγοις μερικώτερα. τὰ δὲ τοῦ ἀνθρώπου ἔργα πολλὰ καὶ μεγάλα ὄντα, πλεονεκτούσης καὶ ὑπεροχικῆς εὐμοίρησε δυνάμεως, καὶ σωματικῆς εὐφυΐας, καὶ ἕξεως. ἵνα γὰρ καὶ πρὸς τὰ κρείττονα ὑπηρετεῖν καὶ δουλεύειν ἔχῃ τὸ ἀνθρώπινον σῶμα, τὰς τοῦ νοὸς δηλονότι ἕξεις καὶ ἐνεργείας, συνέδησε καὶ ἥνωσεν ἐν αὐτῷ ὁ Δημιουργὸς τὰς ἀκρότητας τῶν σωματικῶν τελειοτήτων, καὶ κεφάλαιον ἀνέδειξε συνοπτικὸν ἁπάντων περιγείων σωμάτων, καὶ δοχεῖον κατάλληλον πνεύ-

μα-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ματος ἀϋλοτέρου. τῦτο γὰρ ὁ ἄνθρωπος σῶμα φυσικὸν τὸ τελεώτατον, καὶ πνεῦμα ἄϋλον, τὸ συναμφότερον.

Ὅτι δὲ τὸ ἐν ἀνθρώπῳ πνεῦμα, ὅπερ κοινότερον ψυχὴ λέγεται, ἔστιν οὐσία ἄϋλος, ἐκ τῶν ἐνεργειῶν τοῦ νῦ, καὶ τῆς θελήσεως, καὶ αὐτοκινήτου καὶ ἐλευθέρας κυριότητος δείκνυται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Θεώρημα α'.

Ἐπεὶ ὁ νῦς ἅμα τῇ αὐτῦ ἐνεργείᾳ ἐπενεργεῖ ἐπ' αὐτῷ. ἅμα γὰρ νοεῖ καὶ συνοίδε ἐννοῶν, νοῶν ἅμα καὶ νοητὸς γενόμενος, εἰς ἑαυτὸν ἐπιςρέφων, καὶ δι' ἑαυτῦ διϊὼν, μέρη ὐκ ἔχει. πᾶν δὲ σῶμα ἐκτέτακται, καὶ μέρη ἔχει. ἄρα ὁ νῦς, εἴτ' ὖν ἡ ψυχὴ τῦ ἀνθρώπυ. ταυτίζεται γὰρ ὁ νοῦς τῇ ψυχῇ, ἑτέρα ὐσία ἐστιν, ἢ σῶμα.

## Θεώρημα β'.

Ἐπεὶ ὁ νοῦς ἐκ τῶν φθαρτῶν τὰ ἄφθαρτα, ἐκ τῶν ῥευςῶν τὰ ἄῤῥευστα, ἐκ τῶν χρονικῶν τὰ ἀΐδια, ἐκ τῶν ὑλικῶν ὅλως τὰ ἄϋλα περιδράττεται, περιέχει ἅπαντα καὶ νοεῖ. οὐδὲν δὲ σῶμα τοὺς οἰκείους ὅρους ὑπερβαίνει, ἤτοι ὑπὲρ τὰ σώματα, καὶ τοὺς τῶν σωμάτων ὅρυς ἐσχάτως ὑπεράλλεσθαι πέφυκεν. ἄρα ὁ

νῦς,

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

νοῦς, ἤτοι ἡ ψυχὴ τοῦ ἀνθρώπου, ἣ ταυτίζεται τῷ νῷ, οὐκ ἔστι σῶμα.

### Θεώρημα γ'.

Ἐπεὶ ἡ αἴσθησις τὰ συνημμένα συνημμένως προσλαμβάνει, καὶ τὰ διακεκριμένα διακεκριμένως, καὶ κατὰ φύσιν ἀκίνητα διατυποῖ, καὶ ἅμα παρίστησι παθητικῶς μᾶλλον καὶ ἑτεροκινήτως, ἢ ἐνεργητικῶς, ὁ δὲ νοῦς καὶ τὰ συνημμένα διΐστησι καθ' ἑαυτὸν, καὶ χωρὶς θεωρεῖ, καὶ τὰ διακεκριμένα ἑνοῖ, καὶ ἅμα θεωρεῖ, ἑτέρα ἄρα δύναμις τῆς ψυχῆς ὁ νοῦς, καὶ ἑτέρα ἡ αἴσθησις. σωματικὴ δὲ ἡ αἴσθησις, ἀσώματος ἄρα ὁ νοῦς, καὶ κατ' αὐτὸν ἰδιαίτατα ἡ ψυχή.

### Θεώρημα δ'.

Εἰ ὁ νοῦς τὰς τῆς αἰσθήσεως καὶ φαντασίας ἀλλοιώσεις καὶ ἀνατυπώσεις ἐποπτεύει, καὶ ἀναθεωρεῖ, καὶ ἐπικρίνει τὰς ἐν αὐταῖς ὁμοιότητας καὶ ἑτερότητας καὶ τὰς ἀρχὰς αὐτῶν ἐπιγινώσκει, καὶ συνορᾷ ἅμα τὰς σχέσεις αὐτῶν, καὶ ἐξ αὐτῶν ἰδίας ἐννοίας, ταυτὸν εἰπεῖν καθαρὰς ἰδέας μηδὲν ἐχούσας ὑλικὸν ἀφομοίωμα προβάλλει, ἐκτὸς καὶ ὑπέρτερος ἐστὶν αἰσθήσεως καὶ φαντασίας, καὶ ὅλως τοῦ σώματος καὶ τῶν σωματικῶν, καὶ καθ' ἑαυτὸν ἰδίας δυνάμεις καὶ ἐνεργείας ἔχει. ἄρα καὶ οὐσίαν. ἡ δὲ οὐσία ἡ ἀντιδιαιρουμένη τῷ σώματι ἐστὶν ἄϋλος. ἄρα ὁ νοῦς ἐστὶν ἄϋλος. καὶ ἐπεὶ ταυ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κίζεται τῇ ψυχῇ τοῦ ἀνθρώπου. ἄρα ἡ τοῦ ἀνθρώπου ψυχή ἐστιν ἄϋλος.

## Θεώρημα ε΄.

Εἰ ἡ θέλησις ἑτέρα ἐστὶ τῆς ἰδίως ὀρέξεως, καὶ ἡ δύναμις ἄρα ἀφ᾽ ἧς ἡ θέλησις ἑτέρα ἐστὶ τῆς δυνάμεως ἀφ᾽ ἧς ἡ ὄρεξις. ἔστι δὲ ἡ ὄρεξις ἐκ τῶν σωματικῶν καὶ περὶ τὰ σωματικά. ἡ ἄρα θέλησις οὔτε ἐκ τῶν σωματικῶν οὔτε περὶ τὰ σωματικά. ἀλλὰ ἀΰλως περὶ τὰ ἄϋλα. ἐν δὲ τῷ ἀνθρώπῳ ἔνεστι περὶ τὰ ἄϋλα θέλησις. εἰ γὰρ οὐκ ἰῶ, οὐκ ἂν εἶχεν οὔτε τῶν ἀπολύτως, οὔτε τῶν ἐξ ἀφαιρέσεως ἀΰλων τι νοεῖν, καὶ προσερευνᾷν, καὶ ἐρᾷν. ἀλλὰ καὶ νοεῖν, καὶ ἐρευνᾷν ἐθέλει, καὶ νοῶν ἥδεται καὶ ἐρᾷ προσέχων (τοῦτο ἐκ συνειδήσεως ἐστὶν ἐναργές). ἔστιν ἄρα ἐν τῷ ἀνθρώπῳ οὐσία καὶ δύναμις θελητική, τοῦτο δέ ἐστι τὸ ἰδίως πνεῦμα. ἡ δὲ θελητικὴ δύναμις καὶ οὐσία ἐστιν ἄϋλος, ἔστιν ἄρα ἐν τῷ ἀνθρώπῳ τὸ ἰδίως πνεῦμα ἄϋλον. αὕτη δέ ἐστιν ἡ ψυχὴ τοῦ ἀνθρώπου. ἄϋλος ἄρα ἡ ψυχὴ τοῦ ἀνθρώπου.

## Θεώρημα ϛ΄.

Εἰ ἡ προαίρεσις, αἵρεσις καὶ ἐκλογή ἐστιν ἑνὸς πρὸ ἑτέρου, προηγεῖται ἐν αὐτῇ δύναμις ἐλευθέρα, καὶ βουλὴ καὶ λόγος. ἔστι δὲ ἐν ταῖς πράξεσι τοῦ ἀνθρώπου καταφανὴς ἡ προαίρεσις, ἄρα καὶ βουλὴ καὶ λόγος καὶ δύ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

δυνάμεις ἐλεύθερα ἐνυπάρχει. ταῦτα δὲ ἐν εἴδει τῶν ἀλόγων ζώων ἐνορᾶται. πάντα γὰρ ἐνεργεῖ καθ' ὁρμήν. ἑτέρα ἄρα ἡ ψυχὴ τῶν ἀλόγων τῆς ψυχῆς τοῦ ἀνθρώπου, ὅλῳ γένει ὑπερέχουσα. ἄρα καὶ ἀδιάλυτος καὶ ἀθάνατος καὶ ἄϋλος ἄρα.

## Θεώρημα ζ'.

Εἰ τῆς ὀρέξεως ἀπεναντίας πολλάκις πράττει, καὶ λογίζεται, καὶ ἐγκαρτερεῖ ὁ ἄνθρωπος, ἐξ ἄλλης ἀρχῆς ἀντενεργεῖ ἀντικειμένης τῇ ἀρχῇ τῆς ὀρέξεως. ἀρχὴ δὲ τῆς ὀρέξεως ἐστὶ τὸ σῶμα. ἐξ ἀντικειμένου ἄρα τῷ σώματι ἀντενεργεῖ πολλάκις ὁ ἄνθρωπος. τοῦτο δέ ἐστι τὸ ἐν αὐτῷ πνεῦμα. ἀντίκειται γὰρ ἀντιδιαιρούμενον. ἔστιν ἄρα ἐν τῷ ἀνθρώπῳ φύσις καὶ οὐσία ἄϋλος. τοιοῦτον γὰρ τὸ πνεῦμα.

## Θεώρημα ή.

Εἰ αὐθαίρετον τὴν γνώμην ἔχει ὁ ἄνθρωπος, καὶ οὐδεμία βία ἔξωθεν ἀφέλοιτο αὐτῆς τὴν ἐλευθερίαν, κἂν τὸ σῶμα πάσχῃ τὰ πάνυ ἐπώδυνα, ἔστιν ἐν αὐτῷ τὶς οὐσία ἀνωτέρα τῆς σωματικῆς περιπετείας, ἄϋλος, αὐθόρμητος, ἐλευθέρα, φύσει ἀδούλωτος. αὕτη γοῦν ἐστι τὸ ἐν ἀνθρώπῳ πνεῦμα, ἤγουν ἡ ψυχή.

Πάνυ οὖν καλῶς ὥρισται ὁ ἄνθρωπος, ὡς ἔστι ζῶον αἰσθητικὸν νοερὸν θείου νοῦ, καὶ αἰωνίου ζωῆς δε-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

δεκτικόν. τὸ μὲν ζῶον αἰσθητικὸν ἐλήφθη ἐν τῷ ὁρισμῷ, ὡς ὕλη καὶ ὑποκείμενον, τὸ δὲ νοερὸν καὶ θείου νοῦ, καὶ αἰωνίου ζωῆς δεκτικὸν ὡς εἶδος. συνεμφαίνει δὲ ὁ ὁρισμὸς καὶ τὸ τέλος, ἐν ᾧ τελειοῦται ὁ ἄνθρωπος, κατὰ φύσιν καὶ λόγον βιοὺς, τῇ χάριτι τοῦ Δημιουργοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

ΤΕΛΟΣ.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΠΙΝΑΞ ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ ΤΟΥ Α΄. ΒΙΒΛΙΟΥ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ

## ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ ὕλης καὶ εἴδους τῶν φυσικῶν πρώτων σωμάτων, ὅτι ἐν αὐτοῖς λογικῶς θεωρεῖται ἑκάτερον, καὶ ὅπως νοεῖται, καὶ ἀπ' ἀλλήλων διακέκριται. Φύλ. 1

## ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ διαιρέσεως γενικῆς τῶν σωμάτων, καὶ περὶ τῶν ἰδίων τῶν πρώτων σωμάτων, καὶ ὅτι οἱ λέγοντες ἀρχὴν μεταφυσικὴν τὴν ὕλην, πλημμελοῦσι· καὶ οἱ ἐξάγοντες τὰ εἴδη ἐκ τῆς πρώτης ὕλης, τὴν ὕλην ἀγνοοῦσι. 4

## ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ Τόπου, καὶ Χρόνου. 8

## ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Περὶ μανότητος καὶ κουφότητος, πυκνότητος καὶ βαρύτητος τῶν στοιχείων καὶ τῶν παρεπομένων ἰδιοτήτων. 22



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ ἐνεργείας ϗ πάθους ἐναλλήλου τῶν ςοιχείων. 24
Περὶ τῶν ςοιχειακῶν Μορίων. αὐτόθι

## ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Διὰ τῶν εἰδικῶν δυνάμεων ἡ οὐσιώδης τῶν στοιχειακῶν μορίων γίγνεται μεταβολὴ, ϗ ἡ διηνεκὴς ῥοὴ τῶν ὑπὸ σελήνην. [illegible]
Περὶ Μεταβολῆς ἐν γένει. 29
Περὶ Κινήσεως ἐν γένει. 31
Περὶ Ἠρεμίας. 32
Περὶ τῆς κατὰ τόπον κινήσεως. 33
Ὅπως ἀπὸ σώματος εἰς σῶμα διαβαίνει ἡ κίνησις. 34
Περὶ ἐπιλογισμοῦ τῶν κινήσεων. 35

## ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ σωμάτων μικτῶν ϗ συνθέτων. 37
Περὶ διαφορᾶς μίξεως, κράσεως, συνθέσεως, ϗ φύρσεως. 39
Περὶ τῆς κατὰ φύσιν ὁλκῆς ϗ ὤσεως ἀπ' ἀλλήλων τῶν φυσικῶν σωμάτων. 40

## ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῶν ἁπτῶν ποιοτήτων τῶν μικτῶν. 41
Περὶ ἀλλοιώσεως τῶν μικτῶν διὰ θερμότητος. 43
Ὅτι ἡ μίξις δευτέρα ἐπικοινωνία τῶν ςοιχείων. 44

ΚΕ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ γεωδῶν μικτῶν. 45
Περὶ τῶν γῆς μερῶν. 47

## ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ Λίθων. 51
Περὶ πολυτίμων Λίθων. 53

## ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ Μετάλλων. 55
Περὶ Ἡμιμετάλλων. 57

## ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ Ἁλάτων. 58
Ἴδιον ἁπάντων τῶν ἁλάτων ἐν ὕδατι ἀναλύεσθαι. αὐτόθι

## ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῶν ἐξερχομένων ἐκ γῆς Ῥευστῶν. 62
Περὶ Πνευμάτων ἐκ γῆς ἐξερχομένων. 63

## ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ Γῆς ὁλικῶς. 63

ΚΕ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ Σεισμῶν. 70
Σημεῖα προγνωστικὰ Σεισμȣ̃. 72
Περὶ ῥοώδȣς ϗ εὐδιαχύτȣ σώματος ἐν γένει. 74

## ΚΕΦΑΛΑΙΟΝ Ις'.

Περὶ κράσεως τῶν ῥευστῶν ὅτι ἐστὶ μίξις τῶν μικτῶν. 75
Περὶ Ὕδατος. 76
Περὶ Θαλάσσης. 78

## ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ κοινωνίας τȣ̃ ὑπὸ σελήνην σώματος. 79

## ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ Ἀέρος. 80
Ἔργα δὲ αὐτȣ̃. 82

## ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ Ἀτμοσφαίρας. 84
Περὶ Ὄμβρων, Χιόνος, ϗ Χαλάζης. 88
Περὶ Πνευμάτων, ϗ Ἀνέμων. 90
Περὶ Βροντῶν, Ἀστραπῶν, ϗ Κεραυνῶν. 95



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ Κʹ.

Περὶ Πυρός. 101

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΚΕΦΑΛΑΙΟΝ ΚΑʹ.

Ὅτι διὰ χρόνου καὶ σπανίως συνίστανται καὶ ἐκπυροῦνται οἱ κομῆται. 106

## ΚΕΦΑΛΑΙΟΝ ΚΒʹ.

Περὶ τῶν κατ᾽ ἔμφασιν ἐν μετεώροις φαινομένων. 109

## ΚΕΦΑΛΑΙΟΝ ΚΓʹ.

Περὶ Αἰθέρος. 115

## ΚΕΦΑΛΑΙΟΝ ΚΔʹ.

Ὅτι ὁ κόσμος συνεχὴς, καὶ ἐν αὐτῷ οὐκ ἔστι τὶ κενόν. 124

## ΚΕΦΑΛΑΙΟΝ ΚΕʹ.

Περὶ διαιρέσεως τοῦ αἰθέρος, ἤτοι τῶν ὁλικῶν μερῶν αὐτοῦ. 129

ΚΕ-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ Κϛ'.

Περὶ Φωτός. 135

# ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Προυφήγησις. 141

## ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ φορᾶς ἤτοι περὶ τῆς κατὰ τόπον κινήσεως. 144

## ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν ἰδιωμάτων τῶν κινητικῶν δυνάμεων καὶ κινήσεων ἐν τῷ παθητῷ σώματι. 150

## ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ θλίψεως τῶν σωμάτων, καὶ τῶν ἰδιωμάτων αὐτῆς, καὶ δυνάμεων ἁπλῶς. 154

## ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ προσβολῆς καὶ θραύσεως καὶ ἐλαστικότητος τῶν φυσικῶν σωμάτων. 158

ΚΕ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Γ. Λάππας Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ Βαρύτητος τῶν σωμάτων. 162
Ἔλεγχος κατά τινων πειραμάτων περὶ Βαρύτητος. 163

## ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Περὶ καθόδου τῶν βαρέων ἐπὶ ἐπιπέδων πρανῶν. 167

## ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῶν Λικνιζομένων. 172
Περὶ τῶν προβαλλομένων καὶ ῥιπτομένων σωμάτων. 177
Περὶ κεντρικῶν Δυνάμεων. 178

## ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ Ἠλεκτρισμοῦ. 180

## ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ προσφύσεως καὶ διαστάσεως τῶν φυσικῶν σωμάτων. 184

## ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ Μαγνητικῆς Δυνάμεως. 187



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῆς κατ' εἶδος τῶν σωμάτων ἐφελκυστικῆς δυνάμεως. 191

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ἔτι ἐκ τῶν πειραματικῶν προσεμπεδοῦται ἡ ἀφέλκυσις. 195

## ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ παγιότητος καὶ προσκολλήσεως τῶν κατ' εἶδος σωμάτων. 199

## ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ ὑγροῦ καὶ τῶν μετεχόντων αὐτοῦ κατὰ τὸ πλεονάζον καὶ προῦπτον. 207

## ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τῆς παρὰ τὸ βάρος τῶν ῥευστῶν ἐνεργείας. 213

## ΚΕΦΑΛΑΙΟΝ ΙϚ'.

Περὶ ὑγροῦ τοῦ δι' ὀπῆς ἐκρέοντος. 222

ΚΕ-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ εἰδικῆς βαρύτητος τῶν σωμάτων. 238
Περὶ σωμάτων στερεῶν τοῖς ὑγροῖς ἐμβαπτομένων. 243
Πίναξ τῆς κατ' εἶδος Βαρύτητος τινῶν σωμάτων. 260

## ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ Ὑδραργύρου ἰδίως. 272

# ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

## ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ πρωτογόνου διαιρέσεως, καὶ ἑνώσεως τῶν στοιχείων, καὶ δευτέρας κατ' εἶδος ἐπικοινωνίας. 277

## ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς κατ' εἶδος συστάσεως, καὶ διαφορᾶς τῶν μικτῶν καὶ συνθέτων σωμάτων. 285
Περὶ Γονῆς, καὶ Σπερμάτων. 288
Περὶ Αὐξήσεως καὶ Τροφῆς. 289
Περὶ Ἀλλοιώσεως. 294

## ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ Αἰσθήσεως. 296
Περὶ τῶν ἐν μέρει αἰσθήσεων, καὶ πρῶτον περὶ Ἁφῆς. 304



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Περὶ Γεύσεως. 307
Περὶ Ὀσφρήσεως. 308
Περὶ Ἀκοῆς. 311
Περὶ Ὁράσεως. 314
Περὶ Φαντασίας. 321
Περὶ Μνήμης. 325

## ΚΕΦΑΛΑΙΟΝ Δʹ.

Περὶ πράξεων τῶν ἀλόγων ζώων. 327
Περὶ ἀναπνοῆς τῶν ζώων. 329
Περὶ θυμοῦ καὶ ἐπιθυμίας ζώων. 331
Περὶ ὕπνου τῶν ζώων. 333
Περὶ μιμήσεως τῶν ἀλόγων ζώων. 335
Περὶ ἠθικῆς εἰκονογραφίας ἐν τοῖς ἀλόγοις τῶν ζώων. 338
Περὶ ψυχῆς τῶν ἀλόγων ζώων. 340

## ΚΕΦΑΛΑΙΟΝ Εʹ.

Περὶ ψυχῆς ἀνθρώπου. 343

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006